ἠνάγκαζε φαγεῖν, καὶ δραμὼν εἰς τὸ φρέαρ, ἀνιμήσατο ὕδωρ,
καὶ ἤνεγκεν αὐτῷ πιεῖν. καὶ κρατήσας τῆς χειρὸς αὐτοῦ, ἐξή-
νεγκεν αὐτὸν εἰς τὴν κατ' εὐθεῖαν ὁδὸν καὶ τετριμμένην. ὁ
δὲ ἐπάρας τὰς χεῖρας εἰς τὴν οὐρανὸν, ηὔξατο Αἴσωπον, ὡς
ὑπ' αὐτοῦ εὐεργετηθείς. Αἴσωπος δὲ στραφεὶς, καὶ ὑπὸ τοῦ
καύματος χαυνωθεὶς, εἰς ὕπνον ἐτράπη. ἡ δὲ φιλοξενία ἐ-
πιστᾶσα καθ' ὕπνον, ἐχαρίσατο αὐτῷ σοφίας ἄριστον λόγον,
καὶ ταχύτητα γλώττης, καὶ ἐπιμυθολογίας εὕρεσιν, διὰ ποι-
κίλων μύθων, ὡς ἀγαθοποιητικὸν καὶ φιλόξενον. Ὁ δὲ Αἰσώ-
πος ἐκ τοῦ ὕπνου ἐγερθεὶς, φησὶν, οὐαὶ, πῶς ἡδέως κεκοί-
μημαι, ἀλλὰ καὶ καλὸν ὄναρ ἐθεασάμην, καὶ ἰδοὺ ἀκωλύ-
τως λαλῶ, καὶ τὰ βλεπόμενα ὀνομάζω, δίκελλα, ὄνος,
βοῦς, ἄμαξα. νὴ τοὺς θεοὺς, ἐγὼ πόθεν ἔλαβον τὴν χάριν,
νενόηκα, εὐσεβήσας εἰς τοὺς ξένους. ὥστε προσδεκτὸν παρὰ
τῷ θεῷ τὸ ἀγαθοποιεῖν. ὁ δὲ καλῶς πράττων, λήψεται
καλὰς ἐλπίδας. περιχαρὴς οὖν γενόμενος ὁ Αἴσωπος, καὶ
πάλιν τὴν δίκελλαν ἀναλαβὼν, ἤρξατο μετὰ πόνου σκά-

http://digital.slub-dresden.de/ppn346259193/12